λειαν, ἀλλὰ χάριν πολλῶν δακρύων πηγὰς ἰωμένην· τέλος ἦν ἐν τῇ Γαγγρηνῶν (¹) μητροπόλει βαρύτατον καὶ πάντας τοὺς οἰκήτορας ταπεινοῦν καὶ μάλιστα τοὺς ἐκ τῆς τῶν χειρῶν ἐργασίας τὴν ἐφήμερον τροφὴν ἑαυτοῖς ποριζομένους, ὅπερ ἡ συνήθεια ξυλέλαιον (²) ὀνομάζει, παρεχόμενον τοῖς στρατιώταις [b] τοῖς τε ἐγκαθέτοις καὶ τοῖς τὰς παρόδους ποιουμένοις· ὅθεν ἐκ ταύτης τῆς ἀφορήτου καὶ διηνεκοῦς εἰσπράξεως οὐ μόνον εἰς ἐλάττωσιν ἀλλὰ καὶ εἰς προσθήκην ἐσχάτης πτωχείας τὰ τῶν οἰκητόρων ἐγίνετο ἕως οὗ ὁ ἡμέτερος ἀρχιερεὺς ἔπαυσεν (³) τῆς ἀφορήτου ζημίας τὴν εἴσπραξιν τῷ παντὶ συνεκτινομένην (⁴) χρόνῳ, τοῖς τοῦ βασιλέως προστάγμασιν τὸ διάμονον ἔχουσαν· ἥντινα μετὰ τὸ ⟨ἀπὸ⟩ τῆς βασιλευούσης ὑποστρέφειν στῆλαι χαλκαὶ (⁵) ἐπὶ μέσης τῆς πόλεως πεπηγμέναι ἀνάγραπτον ἔχουσιν. Καὶ ὡς φωνὴ βοᾷ ἡ γραφὴ τὸ κοινωφελὲς καὶ τηλικοῦτον δῶρον τοῦ ἱεράρχου.

**11.** Ἥκων δὲ τροπαιοφόρος ἐκ τῆς βασιλίδος ὁ μέγας ἱεράρχης Ὑπάτιος εἰς οὐδὲν ὑψηλότερος τοῦ προτέρου φρονήματος ἀπεδείχθη, μᾶλλον μὲν οὖν εἰς προσθήκην ἑαυτῷ τὰ τῆς ταπεινώσεως ἐπεδίδου τῆς καλῆς ἐργασίας μηδὲ πρὸς βραχὺ καταμελῶν ἀλλὰ ταύτην συντόνως καὶ ὡς [251'] οἰκείαν αὐτῷ καὶ ἁρμόζουσαν διακονίαν ἐπιτελῶν, χηρῶν προιστάμενος, ὀρφανοῖς πατὴρ γενόμενος, σπουδαίαν προστασίαν εἰς τοὺς καταπονουμένους ἐπιδεικνύμενος, ἐν ἱλαρότητι τῆς ἐλεημοσύνης ἐπιμελούμενος καὶ πάντων τούτων ἀμέμπτως τὴν ἐργασίαν ποιούμενος, τῶν τῷ θεῷ ἀρεσκόντων κατορθωμάτων μετὰ σπουδῆς ἐπεμελεῖτο· ὅθεν πᾶσαν τὴν ποίμνην περινοστῶν σὺν ἀγρύπνῳ φροντίδι πρὸς τὸ μήτινα τῶν τῆς λογικῆς ποίμνης θρεμμάτων θηριάλωτα γενέσθαι πρόβατα (⁶) ταῖς αἱρετικαῖς κακοβουλίαις. Ἐντεῦθεν αὐτῷ ὁ μέγας καὶ τελευταῖος ἀγὼν καὶ στέφανος διαδέχεται. Τῆς γὰρ τοῦ Ναυάτου (⁷) ἀλαζονείας καὶ τῆς ἐψευσμένης αὐτοῦ καθαρότητος εἰς τὸ ἀμετανόητον ὡς ἐπὶ ἀσάρκων τῶν ἀνθρώπων ἡγουμένης καὶ πᾶσαν ἰδέαν ἁμαρτημάτων ἐν παραβύστῳ πραττούσης, ἡ ἀνήκεστος αὐτὴ καὶ φθοροποιὸς νόσος ὑπό τι τῆς πόλεως ἐνσκήψασα κλῆμον ὃ Λαζιανὴν (⁸) προσαγο[b]ρεύουσιν τοὺς πολλοὺς οἰκήτορας ἐκείνης τῆς χώρας διελυμήνατο· ἐφ' οὓς πολλάκις ὁ θεοφόρος καὶ ἅγιος ἱεράρχης Ὑπάτιος παραγενόμενος τὴν μὲν Ναυάτου ἐδημοσίευεν φρενοβλάβειαν, τὸ δὲ μέγα τῆς μετανοίας ὑπεδείκνυεν φάρμακον τοῖς ἁμαρτήσασι, καὶ πολλοὶ τοῖς εὐαγγελικοῖς διδάγμασιν τῆς θεολογικῆς τοῦ ἱεράρχου καταρδευόμενοι γλώττης ἐποίουν καρποὺς μετανοίας. οἱ δὲ τῶν ψυχοφθόρων δογμάτων τοῦ Ναυάτου προστάται, οὐ μόνον τοὺς εἰς τὴν εὐσέβειαν μετατεθέντας ὑπὸ τῆς πνευματικῆς διδασκαλίας τοῦ ὁσίου ποιμένος πληγαῖς καὶ διωγμοῖς ἐταπείνουν, ἀλλὰ εἰς αὐτὸν ἐκεῖνον τὸν τοῦ θεοῦ θεράποντα καὶ ἱεράρχην Ὑπάτιον σφαγὴν καὶ θάνατον ἐμελέτησαν (⁹) καὶ πολλάκις ἐπὶ τὴν πρᾶξιν ὁρμήσαντες διεκωλύθησαν ἐλθεῖν ἐπὶ ταύτην, τὸν βίον αὐτοῦ τὸν

(¹) Γαγγρινῶν *cod.*
(²) Vectigal Gangr. ξυλέλαιον *cod²*.
(³) Vectigal min. obtinet *cod²*.
(⁴) συνεκτινόμενον *cod.*
(⁵) Unde colum. ae, in patria illi posita *cod²*. Ἀπὸ adieci.
(⁶) θηριαλωτον γ. πρόβατον *cod.*
(⁷) Navatí haeresis in... eccles. irrepit *cod²*.
(⁸) ...ana *cod²*. Cfr. Aizanoi in Phrygia.
(⁹) Navatiani caed. moliuntur Hypatio *cod²*.